A Ὡς ἂν ἐντὸς ἦτε] εἰώθασιν οἱ Ἀθηναῖοι, σφάζειν δέλφακα καὶ ῥαίνειν τὰς καθέδρας τῷ αἵματι αὐτοῦ εἰς τιμὴν τῆς Δήμητρος. ἐπειδὴ τοὺς καρποὺς αὐτῆς βλάπτει. ἄλλως. ὅτι καθαίρονται οἱ ἐν τῇ ἐκκλησίᾳ χοίρου σφαζομένου. καὶ ὁ ῥήτωρ φησὶν, ἐπειδὰν τὸ καθάρσιον περιενεχθῇ, καὶ ὁ κήρυξ τὰς πατρίους εὔξηται, τότε δὴ κελεύει δημηγορεῖν. τὸ δὲ θυόμενον χοιρίδιον ἐπὶ καθάρσει τῶν τόπων, κάθαρμα ἐκαλεῖτο. ὁ δὲ περικαθαίρων, καθαρτής. Αἰσχίνης δὲ ἐν τῷ κατὰ Τιμάρχου, καθάρσιον καλεῖ. Ὁ γὰρ Ἀμφίθεος Δήμητρος ἦν.] ἱερεὺς Δήμητρος καὶ Τριπτολέμου ὁ Ἀμφίθεος. πέπαικται κωμικῶς ταῦτα. B Κελεοῦ γὰρ καὶ Τριπτολέμου. ταῦτα δὲ λέγει ἐν παιδιᾷ σκώπτων τὸν Εὐριπίδην, ἀεὶ ἡδέως ἐπαγγέλλοντα τὰ γένη. ἐν ἄλλοις τε καὶ κατ' ἀρχὰς τῆς ἐν Ταύροις Ἰφιγενείας.

Πέλοψ ὁ Ταντάλειος εἰς Πῖσαν μολὼν
Θοαῖσιν ἵπποις Οἰνομάου γαμεῖ κόρην.
Ἐξ ἧς Ἀτρεὺς ἔβλαστεν. Ἀτρέως δὲ παῖς
Μενέλαος Ἀγαμέμνων τε. τοῦ δ' ἔφυν ἐγώ.

τοῦ δὲ Κελεοῦ μέμνηται Βακχυλίδης διὰ τῶν ὕμνων. ἄλλως. τὸν πρόπαππον αὐτοῦ λέγει, ὃς Ἀμφίθεος ὁμωνύμως ἐκαλεῖτο. Τήθην ἐμήν.] τήθας ἐκάλουν τὰς μάμμας. καὶ τηθελὰς τὰς μαμμοθρέπτους.

BISETVS. Τήθην] Εὐστάθιος. τήθη, ἡ τοῦ πατρὸς, καὶ τῆς μητρὸς μήτηρ. καὶ ἁπλῶς ἡ πρεσβυτέρα γυνή. καὶ τήθη ἡ τροφὸς ὁμωνύμως λέγεται, παρὰ τὸ στῆθος, ἢ παρὰ τὸ τῆ, θήλαζον λέγειν τῷ βρέφει. καὶ οἱ μὲν ὀξυτονοῦσι τηθὴ, οἱ δὲ (ὃ καὶ κοινότερον) βαρυτόνως ἐκφέρουσι τήθη. τηθία δὲ, καὶ τηθίδιος ταυτὸν ὅπερ ἡ τήθη.

Σπονδὰς ποιεῖσθαι πρὸς Λακεδαιμονίους μόνῳ.
Ἀλλ' ἀθάνατος ὢν ὦνδρες ἐφόδι' οὐκ ἔχω,
Οὐ γὰρ διδόασιν οἱ Πρυτάνεις. Κη. οἱ τοξόται.
Αμ. Ὦ Τριπτόλεμε καὶ Κελεὲ, περιόψεσθέ με;
Δι. Ὦνδρες Πρυτάνεις, ἀδικεῖτε τὴν ἐκκλησίαν, C
Τὸν ἄνδρ' ἀπάγοντες ὅστις ἡμῖν ἤθελε
Σπονδὰς ποιῆσαι, καὶ κρεμάσαι τὰς ἀσπίδας.
Κη. Κάθησο, σίγα. Δικαιόπ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
Ἢν μὴ περὶ εἰρήνης γε πρυτανεύσητέ μοι.
Κη. Οἱ παρὰ βασιλέως πρέσβεις.
Δι. Ποίου βασιλέως; ἄχθομαι 'γὼ πρέσβεσι,
Καὶ τοῖς ταῶσι, τοῖς τ' ἀλαζονεύμασι.
Κή. Σίγα. Δικαιοπ. βαβαιὰξ, ὦ 'κβάτανα τοῦ σχήματος. D

Vt pacem cum Lacedæmonio faciam poplo:
Sed ô amici, Deus cùm ſim, viaticum mihi
Non habeo: neque enim vrbis præfecti dant.
PR. Lorarij. AM. *Triptoleme, Celee, mene vos*
Negligetis? DI. *hem viri, facitis iniuriam*
Huic concioni: quòd virum hunc abducitis:
Qui pacem nobis facturus modò fuerit
Et ſcuta ſuſpenſurus ad poſtes ſacros.
PR. Sede & tace. DI. *ego non: ita me Apollo bene adamet:*
Niſi iam de pace conſilia agatis mihi.
PR. At ſunt à Rege legati.
DI. *Quo Rege? nam ego legatis, & pauonibus,*
Et oſtentationibus ſuccenſeo.
PR. Tace. DI. *papæ ô Ecbatana, quæ ſpecies noua hæc?*

Σχόλια. Σπονδὰς ποιεῖσθαι.] τοῦτο γὰρ ὁ σκοπὸς τοῦ δράματος, ὥστε σπονδὰς ποιεῖσθαι πρὸς Λακεδαιμονίους. Ἐφόδι' οὐκ ἔχω.] ὅτι ἐκ τοῦ πολέμου πένης εἰμί. καὶ ἐφόδια οὐκ ἔχω. Οἱ τοξόται.] τοῦτό φησιν εἷς τῶν Πρυτανέων, κελεύων ἐκβαλεῖν τὸν Ἀμφίθεον ὡς ὑβριστήν. ἄλλως. τοῦτο ἐκ τῶν Πρυτανέων τίς φησι κελεύων ἀπελαύνειν τὸν Ἀμφίθεον. εἰσὶ δὲ οἱ τοξόται, δημόσιοι ὑπηρέται E φύλακες τοῦ ἄστεος τὸν ἀριθμὸν χίλιοι. οἵτινες πρότερον μὲν ᾤκουν τὴν ἀγορὰν μέσην σκηνοποιησάμενοι. ὕστερον δὲ μετέβησαν εἰς Ἄρειον πάγον. ἐκαλοῦντο οὗτοι καὶ Σκύθαι καὶ Πευσίνιοι, Πευσίνος τινὸς τῶν πάλαι πολιτευομένων συντάξαντος τὰ περὶ αὐτούς. Ὦ Τριπτόλεμε.] τοὺς ἑαυτοῦ προγόνους, ἐπικούρους ὥσπερ καὶ συμμάχους ἐπικαλεῖται. ἀπάγοντες δὲ, ἀπωθοῦντες, ἀπελαύνοντες. Καὶ κρεμάσαι.] ἐν γὰρ τῇ εἰρήνῃ κρέμανται αἱ ἀσπίδες. Ἢν μὴ περὶ εἰρήνης πρυτανεύσητε.] ἀντὶ τοῦ χρηματίσητε, πράξητε. πάντα γὰρ ἀπὸ τῶν Πρυτανέων διεπράττετο. ἐχρήσατο δὲ τῇ λέξει καὶ Δημοσθένης. F Οἱ πρέσβεις.] οὕτως ὁ Περσῶν βασιλεὺς κατ' ἐξοχήν. οὕτω δὲ καὶ ἄλλους ἔλεγον, προστιθέντες τῶν ἀρχομένων τὰ ὀνόματα. οἷον βασιλεὺς Λακεδαιμονίων, βασιλεὺς Μακεδόνων. διαφορὰ δέ ἐστι βασιλέως καὶ τυράννου. βασιλεὺς μὲν γὰρ ἐκ προγόνων κατὰ διαδοχὴν ἔχει τὴν ἀρχὴν ἐπὶ ῥητοῖς λαβὼν πέρασι. τύραννος δὲ τὸ ἀρχὴν βιαίως σφετερίζεται. χρῶνται δὲ ἀδιαφόρως ἔνιοι τοῖς ὀνόμασι. Ἱέρωνα μὲν βασιλέα Πίνδαρος καλεῖ, τὸν Συρακουσίων τύραννον. Εὔπολις δὲ ἐν Δήμοις εἰσάγει τὸν Πεισίστρατον, βασιλέα. ἀλλὰ καὶ τοὺς βασιλεῖς πολλάκις τυράννους λέγουσι. πρέσβεις δὲ οὗτοί εἰσιν οἱ περὶ τὸν Μόρυχον ἐμπλησθέντες τρυφῆς. Καὶ τοῖς ταῶσι.] τοῖς κόλποις τοῖς πεποικιλμένοις. ἐπεὶ ὁ ταὼς ποικίλος. ἢ ὅτι πορφύρας ἔχουσι καὶ τιάρας ὡς αὐτός φησι. τιάραι δέ εἰσι, περικεφαλαῖαι Περσικαὶ, ταῶνος πτερὰ ἔχουσαι. ἢ ὅτι ἥκοντες ἀπὸ Περσίδος, ταὼν ἔχοντες ἐληλύθασιν. Ὦ 'κβάτανα.] ἐξιᾶσι γὰρ οἱ πρέσβεις κεκαλλωπισμένοι ὡς ἀπὸ Ἐκβατάνων, ἥτις ἐστὶ Περσικὴ πόλις.

BISETVS. Τοῖς πρεσβευταῖς ἀπὸ τοῦ Περσῶν βασιλέως μετὰ Ψευδαρτάβα ἐπανελθοῦσι βουλὴ δίδοται, καὶ ἀκούονται. οἱ δὲ τὰς ἑαυτῶν εὐωχίας, καὶ συμπόσια, καὶ τὰς Περσῶν τρυφὰς, καὶ τὸ ἁβροδίαιτον διηγοῦνται.

Πρ. Ἐπέμψαθ' ἡμᾶς ὡς βασιλέα τὸν μέγαν,
Μισθὸν φέροντας δύο δραχμὰς τῆς ἡμέρας
Ἐπ' Εὐθυμένους ἄρχοντος. Δι. οἴμοι τῶν δραχμῶν.
Πρ. Καὶ δῆτ' ἐτρυχόμεσθα διὰ τῶν Καϋστρίων
G Πεδίων ὁδοιπλανοῦντες ἐσκηνημένοι,
Ἐφ' ἁρμαμαξῶν μαλθακῶς κατακείμενοι,

LE. Miſiſtis hinc nos ad Regē ter maximum,
Duabus inſtructos drachmis ſtipendio
Diurno. DI. *væ duabus drachmis: væ mihi.*
LE. Et nos magnis laboribus exhauſti ſumus,
Miſerè palantes per campos Cayſtrios:
G *Illicq́; noſtra figentes tentoria,*
Et in carpentis accumbentes molliter.

Σχόλ. Μισθὸν φέροντας.] διὰ τούτων παρίστησι τὴν τῶν Ἀθηναίων μαλακίαν. ἄλλως ἀναλισκόντων τοὺς χρόνους ἕνεκα κέρδους. πρὸ ιβ ἐτῶν ἦρχεν ὁ Εὐθυμένης Ἀθήνησι, καθάπερ γὰρ τῶν πρεσβευτῶν ὡς ἐπίτηδες χρονοτριβούντων ἐν ταῖς πρεσβείαις, ὑπὲρ τοῦ πλείονα μισθὸν λαμβάνειν. Ἐπ' Εὐθυμένους ἄρχοντος.] οὗτος ὁ ἄρχων ἐφ' οὗ κατε-